θέτας καὶ εἴ τινες ἕτεροι τοιοῦτοι γεγένηνται. εἰ δὲ τῆς πολιτικῆς ἐστὶν ἡ σκέψις αὕτη, δῆλον ὅτι γίνοιτ' ἂν ἡ ζήτησις κατὰ τὴν ἐξ ἀρχῆς προαίρεσιν. περὶ ἀρετῆς δὲ ἐπισκεπτέον, ἀνθρωπίνης δηλονότι. καὶ γὰρ τὸ ἀγαθὸν ἀνθρώπινον ἐζητοῦμεν, καὶ τὴν εὐδαιμονίαν ἀνθρωπίνην. ἀρετὴν δὲ λέγομεν ἀνθρωπίνην, οὐ τὴν τοῦ σώματος, ἀλλὰ τὴν τῆς ψυχῆς· καὶ τὴν εὐδαιμονίαν δὲ, ψυχῆς ἐνέργειαν λέγομεν. εἰ δὲ ταῦθ' οὕτως ἔχει, δῆλον ὅτι δεῖ τὸν πολιτικὸν εἰδέναι πως τὰ περὶ ψυχήν. ὥσπερ καὶ τὸν ὀφθαλμοὺς θεραπεύσοντα, καὶ πᾶν σῶμα· καὶ μᾶλλον ὅσῳ τιμιωτέρα καὶ βελτίων ἡ πολιτικὴ τῆς ἰατρικῆς. καὶ τῶν ἰατρῶν δ' οἱ χαρίεντες πολλὰ πραγματεύονται περὶ τὴν τοῦ σώματος γνῶσιν. θεωρητέον δὴ καὶ τῷ πολιτικῷ περὶ ψυχῆς. θεωρητέον δὲ τούτων χάριν, καὶ ἐφ' ὅσον ἱκανῶς ἔχει πρὸς τὰ ζητούμενα· τὸ γὰρ ἐπὶ πλεῖον ἐξακριβοῦν, ἐργωδέστερον ἴσως ἐστὶ τῶν προκειμένων. λέγεται δὲ περὶ αὐτῆς καὶ ἐν τοῖς ἐξωτερικοῖς λόγοις ἀρκούντως ἔνια· καὶ χρηστέον αὐτοῖς. οἷον, τὸ μὲν ἄλογον αὐτῆς εἶναι, τὸ δὲ λόγον ἔχον. ταῦτα δὲ πότερον διώρισται, καθάπερ τὰ τοῦ σώματος μόρια, καὶ πᾶν τὸ μεριστὸν, ἢ τῷ λόγῳ δύο ἐστὶν ἀχώριστα πεφυκότα, καθάπερ ἐν τῇ περιφερείᾳ τὸ κυρτὸν καὶ τὸ κοῖλον, οὐδὲν διαφέρει πρὸς τὸ παρόν. τοῦ ἀλόγου δὲ, τὸ μὲν, ἔοικε κοινῷ καὶ φυτικῷ· λέγω δὲ τὸ αἴτιον τοῦ τρέφεσθαι, καὶ τοῦ αὔξεσθαι· τὴν τοιαύτην γὰρ δύναμιν τῆς ψυχῆς ἐν ἅπασι τοῖς τρεφομένοις θείη τις ἂν, καὶ ἐν τοῖς ἐμβρύοις· τὴν αὐτὴν δὲ ταύτην καὶ ἐν τοῖς τελείοις· εὐλογώτερον γὰρ ἢ ἄλλην τινά. ταύτης μὲν οὖν κοινή τις ἀρετὴ, καὶ οὐκ ἀνθρωπίνη φαίνεται· δοκεῖ γὰρ ἐν τοῖς ὕπνοις ἐνεργεῖν μάλιστα τὸ μόριον τοῦτο, καὶ ἡ δύναμις αὕτη· ὁ δὲ ἀγαθὸς καὶ κακὸς, ἥκιστα διάδηλοι καθ' ὕπνον· ὅθεν φασὶν οὐδὲν διαφέρειν τὸ ἥμισυ τοῦ βίου τοὺς εὐδαίμονας τῶν ἀθλίων. συμβαίνει δὲ τοῦτο εἰκότως· ἀργία γάρ ἐστιν ὁ ὕπνος τῆς ψυχῆς, ᾗ λέγεται σπουδαία καὶ φαύλη· πλὴν εἴ πῃ κατὰ μικρὸν διικνοῦνταί τινες τῶν κινήσεων· καὶ ταύτῃ βελτίω γίνεται τὰ φαντάσματα τῶν ἐπιεικῶν, ἢ τῶν τυχόντων. ἀλλὰ περὶ μὲν τούτων, ἅλις. καὶ τὸ θρεπτικὸν οὖν ἐατέον, ἐπειδὴ τῆς ἀνθρωπίνης ἀρετῆς ἄμοιρον πέφυκεν.

A si qui alij tales extiterunt. Quòd si ciuilis facultatis hæc consideratio est, patet inquisitionem hanc perinde atque à principio proposuimus, futuram. De virtute autem, humana scilicet, considerandũ est: nam & de bono humano, & de felicitate humana, quærebamus. Virtutem verò humanam dicimus non corporis, sed animæ, felicitatem quoque animæ operationem appellamus. Sed si hæc ita se habent, perspicuum est, ciuilem quæ ad animam spe-
B ctant, quodammodo cognoscere oportere: quemadmodum oculum, & totum corpus, eum qui curaturus est. Atque eò magis, quò ciuilis facultas honorabilior, meliórque medicina est. Elegantes quoque medici multa circa cognitionem corporis pertractant. Contemplandum igitur etiam ciuili homini de anima est: atque id, horum causa, & quatenus satis est ad ea quæ hic quæruntur. nam exactius absolu-
C tiúsque rem hanc excutere laboriosius fortasse est ac difficilius, quàm præsenti negocio conueniat. Dicuntur autem de ipsa in extrariis etiam disputationibus nonnulla, quæ satis sunt: vtendúmque ipsis est. Quemadmodum alteram partem eius esse rationis participem, alteram expertem. nam vtrum distinctæ sint, vt corporis partes & omnia diuisibilia an ratione tantùm duæ sint, re autem separari inter se minimè possint, vt in circunferen-
D tia conuexum & concauum: illud verò nihil ad propositum refert. Irrationalis autem partis, alia communi & vegetali persimilis est. ita appello eam, quæ augendi, & alendi causa est. talem enim animæ facultatem in omnibus quæ aluntur, statueret aliquis: & in fœtibus quoque: quin etiã eandem hanc in perfectis: & conuenientius etiam quàm aliam quampiam. Huius
E autem communis quędam virtus, non humana apparet: quippe cùm pars hæc & facultas in somnis maximè operari videatur, bonus autẽ & malus discerni in somno minimè possit. Vnde inquiũt felices in dimidia parte vitæ à miseris nihil distare. Atque hoc cõuenienter euenit, otiũ enim animæ somnus est, quæ vel bona vel mala dicitur. Nisi quatenus paululum motiones aliquæ ad eam pertingunt: eatenus enim modestorũ meliora quàm quorumlibet visa apparent. Ac de his quidem sa-
F tis. atque hæc nutriendi facultas, est enim humanæ virtutis expers, omittenda est.